ῥεῖα κέ τοι μορφάς τε σίνη τ᾽ολοφώια θηρῶν
ἀπροϊδῆ τύψαντα λύσιν θ᾽ ἑτεραλκέα κήδευς,
φίλ᾽ Ἑρμησιάναξ, πολέων κυδίστατε παῶν,
ἔμπεδα φωνήσαιμι · σὲ δ᾽ ἂν πολύεργος ἀροτρεύς
βουκαῖός τ᾽ ἀλέγοι καὶ ὀροιτύπος, εὖτε καθ᾽ ὕλην
ἢ καὶ ἀροτρεύοντι βάλῃ ἔπι λοιγὸν ὀδόντα,
τοῖα περιφρασθέντος ἀλεξητήρια νούσων.
᾽αλλ᾽ ἤτοι κακοεργὰ φαλάγγια, σὺν καὶ ἀνιγρούς
ἑρπητὰς ἔχιάς τε καὶ ἄχθεα μυρία γαίης
Τιτήνων ἐνέπουσιν ἀφ᾽ αἵματος, εἰ ἐτεόν περ
᾽ασκραῖος μυχάτοιο Μελισσηέντος ἐπ᾽ ὄχθαις
Ἡσίοδος κατέλεξε παρ᾽ ὕδασι Περμησσοῖο.
Τὸν δὲ χαλαζηέντα κόρη Τιτηνὶς ἀνῆκε
σκορπίον, ἐκ κέντροιο τεθηγμένον, ἦμος ἐπέχρα
Βοιωτῷ τεύχουσα κακὸν μόρον Ὠαρίωνι,
ἀχράντων ὅτε χερσὶ θεῆς ἐδράξατο πέπλων ·
αὐτὰρ ὅγε στιβαροῖο κατὰ σφυρὸν ἤλασεν ἴχνευς
σκορπίος ἀπροϊδὴς ὀλίγῳ ὑπὸ λαῖ λοχήσας ·
τοῦ δὲ τὲρας περίσημον ὑπ᾽ ἀστέρας ἀπλανὲς αὔτως
οἷα κυνηλατέοντος ἀείδελον ἐστήρικται.
ἀλλὰ σύ γε σταθμοῖο καὶ αὐλίου ἑρπετὰ φύγδην
ῥηιδίως ἐκ πάντα διώξεαι, ἢ ἀπό ἐρίπνης,
ἠὲ καὶ αὐτοπόνοιο χαμευνάδος, ἦμος ἀν᾽ ἀγρούς
φεύγων αὐαλέου θέρεος πυρόεσσαν αὐτμήν
αἴθριος ἐν καλάμῃ στορέσας ἀκρε;στερος εὕδῃς,
ἢ καὶ ἀνυλήεντα παρὲλ λόφον, ἢ ἐνὶ βήσσης
ἐσχατιῇ ὅθι πλεῖστα κινώπετα βόσκεται ὕλην,
[δρυμοὺς καὶ λαωιῶνας ἀμορβαίους τε χαράδρας]
καί τε παρὲκ λιστρωτὸν ἅλω δρόμον, ἠδ᾽ ἵνα ποίη
πρῶτα κυϊσκομένη χνοάει σκιάοντας ἰάμνους,
τῆμος ὁ;τ᾽ ἀζαλέων φολίδων ἀπεδύσατο γῆρας
μῶλυς ἐπιστείβων, ὅτε φωλεὸν εἴαρι φεύγων
ὄμμασιν ἀμβλώσσει, μαράθου δέ ἑ νήχυτος ὄρπηξ
βοσκηθεὶς ὠκύν τε καὶ αὐγεήεντα τίθησι.
Θιβρὴν δ᾽ ἐξελάσεις ὀφίων ἐπιλωβέα κῆρα
καπνείων ἐλάφοιο πολψγλώχινα κεραίην,
ἄλλοτε δ᾽ ἀζαλέην δαίων ἐγγαγίδα πέτρην,
ἣν οὐδὲ κρατεροῖο πυρὸς περικαίνυται ὁρμή.
ἐν δὲ πολυσχιδέος βλήτρου πυρὶ βάλλεο χαίτην,
ἢ σύ γε καχρυόεσσαν ἑλὼν πυριθαλπέα ῥίζαν
καρδάμῳ ἀμμίγδην ἰσοελκέι · μίσγε δ᾽ ἔνοδμον
ζορκὸς ἐνὶ πλάστιγγι νέον κέρας ἀσκελὲς ἱστάς,
καί τε μελανθείου βαρυαέος, ἄλλοτε θείου,